8 'Επιθοῤῥῶντες. Lege tranſpoſitis litteris ἐπιῤῥοθοῦντες, ut habetur in Etymologo Magno, pag. 365. Ed. Sylburg. Videſis eumdem voce ἐπίῤῥοθος, pag. 363. ex quo apparet ἐπιῤῥοθεῖν proprium eſſe veterum in venatione. Formula τῶν ἐπιῤῥοθούντων eſt apud Xenophontem *de venatione*, pag. 575. Editionis quæ prodiit Lutetiæ apud Henricum Stephanum, anno 1581. 'Επιβοώντων δὲ αὐτῷ διακελευόμενοι, ἰὼ κύνες, ἰὼ καλῶς, σοφῶς γε ὦ κύνες, καλῶς γε ὦ κύνες. Clar. Alberti ad Heſychium perperam edidit ἐπιθαῤῥῶντες. Il. M. 180. Πάντες ὅσοι Δαναοῖσι μάχης ἐπιτάῤῥοθοι ἦσαν. Eadem hæc actio canes adhortandi vocatur quoque ἐπίσιττον, teſte Etym. qui habet : τὸ σπαρίζοντας ἐποτρύνειν τοὺς κύνας ἐπὶ τὰ ἔργα ἐν τοῖς κυνηγεσίοις, ἐπίσιττον καλεῖται. Simplici σίττα paſtores utebantur. Theocrit. εἰδ. Ε. σίττ' ἀπὸ τᾶς κοτίνω. Et εἰδ. Η. σίττα νέμεσθε, νέμεσθε. Pro quo apud Euripid. in Cyclope, verſu 49 : ψύττα. ὁ τᾶδ' ὦ, ὁ τᾶδε νέμῃ.

Ἐπιτετράφατε. [1] Ἐπιτετραμμένοι εἰσίν. Ἴακχον [2] δὲ τὸ σχῆμα.

Ἐπιτηδές. [3] Ἐπιτηδεῖς, ἐπιτηδείως.

Ἐπίτονος. [4] Ὁ ἱμὰς ὁ δεσμεύων τὸ πρὸς τὸ ἱστίον κέρας, οἷον ἡ κεραία ἥτις δεσμεύεται περὶ τὸν ἱστόν.

Ἐπιτρέψαι. Ἐπιτροπεῦσαι δῦναι.

Ἐπίφρονα. Φρόνιμον.

Ἐπιψαύσῃ. Ἐπιθιγγάνῃ.

Ἐπιωγαί. Οἱ ἀλίμενοι [5] τόποι, ὑπαγωγὰς δὲ ἔχοντες ἐν σκέπῃ. ὑπὸ ἀνέμων.

Ἔπλετο. Ἐγένετο.

Ἐπιβαλλόμενος. [6] Ἐπιβολὴν, καταπρόθεσιν ἔχων.

Ἐπλίσσοντο. Διέβαινον, ἀπὸ τοῦ πλιάδος· [7]

—— Ἐν δ' ἐπλίσσοντο [8] πόδεσσι.

---

[1] Ἐπιτετράφατε. Lege ἐπιτετράφαται. Il. Β. 25:

Ὧ λαοί τ' ἐπιτετράφαται, καὶ τόσσα μέμηλε. —

[2] Ἴακχον. Lege Ἴακον.

[3] Ἐπιτηδές. Legitur Il. Α. 142:

Ἐς δ' ἐρέτας ἐπιτηδὲς ἀγείρομεν. —

quod vertitur, *remiges idoneos*. Optime poſt Euſtathium annotaverunt L. Bos & Kuſterus τὸ ἐπιτηδὲς non eſſe adverbium, aut neutrum ſingulare pro adverbio poſitum; ſed accuſativum pluralem Poeticum & Ionicum pro ἐπιτηδεῖς, per eliſionem τοῦ Ι, quæ littera in diphtongo ΕΙ Ionice & Dorice omitti ſolet; ut in ἀπόδεξις pro ἀπόδειξις. πλέων pro πλείων, χέρας pro χεῖρας. Sic Il. Η. 100. ἀκλεὲς pro ἀκλεεῖς ſcribitur. Quibuſdam ἐπιτηδὴς derivatur ex Hebr. עתיד *paratus*, & Chald. Syr. & Ar. עתד *paratus*, *præſto fuit*.

[4] Ἐπίτονος. Sic corrige Heſ. locum ἐπίτονος interpretantis, quem miror nunquam antea emendatum fuiſſe: δέρμα (lege δέσμα) ᾧ καταστρέφεται τὸ ἱστὸν τῆς νεώς: lege τὸ ἱστίον, vel πρὸς τὸν ἱστὸν τῆς νεὼς τὸ κέρας; ut & habet Suidas.

[5] Ἀλίμενοι. In Heſ. ἀνείμενοι. Od. Ε. 404:

Οὐ γὰρ ἔσαν λιμένες νηῶν ὄχοι, οὐδ' ἐπιωγαί.

[6] Ἐπιβαλλόμενος. Vide ſupra ubi idem iiſdem occurrit verbis.

[7] Πλιάδος. Hæc vox non eſt Græca. Legendum πλιχάδος quæ eſt pars corporis inter inguina & femur, quæ ſcilicet incedendo veluti divaricetur. Pollux, lib. II. 173. τὰ μέντοι μεταξὺ ποδηθμένα καὶ ὀρχέων καὶ μηρῶν πλιχάδες καλοῦνται. ὅθεν καὶ τὸ διαβαίνειν οἱ ποιηταὶ ἀμφιπλίσσειν λέγουσι. καὶ τὸ περιβάδην ἀμφιπλίξ, ὡς Σοφοκλῆς καλεῖ χρύσεον ἐπὶ δράκοντα αἰτῶν. θαμρὸν ἀμφιπλὶξ εἰληφότα· ἤτοι περιβεβηκότα.

ἘΠΙΤΕΤΡΆΦΑΤΕ.

Ἐπιτετράφατε. Commiſſi ſunt. Ionica eſt hæc orationis figura.

Ἐπιτηδέες. Paratos, diſpoſitos.

Ἐπίτονος. Funis colligans antennam ad velum, tanquam antenna quæ revincitur ad malum navis.

Ἐπιτρέψαι. Committere.

Ἐπίφρονα. Prudentem.

Ἐπιψαύσῃ. Attingeret.

Ἐπιωγαί. Portu carentia loca, ſed ſeceſſum habentia & a vento munita tectaque.

Ἔπλετο. Fuit.

Ἐπιβαλλόμενος. Inſtitutum, propoſitum habens.

Ἐπλίσσοντο. Tranſibant:

——— *Et pulchre tranſibant pedibus.*

διὸ καὶ Στράτλις, τὰ θυγάτρια περὶ τὴν λεκάνην ἅπαντα περιπεπλιγμένα, τουτέστι, διασχόντα τὰ σκέλη. καὶ Ὅμηρος δέ·

— Εὖ δ' ἐπλίσσοντο πόδεσσι,

τουτέστι διέβαινον. Euſtathius ad Od. Z. τὸ δὲ πλίσσοντο, λέξις μέν ἐστιν Ἰωνική. κατὰ δὲ τοὺς πλείονας, Δωρική. δηλοῖ δὲ τὸ βηματίζειν καὶ μεταφέρειν σκέλος παρὰ σκέλος. ὅθεν καὶ πλὶξ, τὸ βῆμα. καὶ πλίξας, ὁ βηματίσας. καὶ περιπεπλιγμένον, τὸ περιβεβηκός. καὶ ἀπεπλίξατο, τὸ ἀπέβη, παρὰ τῷ Κωμικῷ ἐν Ἀχαρνεῦσι. καὶ Ἱπποκράτης δέ φασι πλίγμα λέγει, τὸ μεταξὺ τῶν μηρῶν διάστημα. ὅθεν καὶ διαπεπλίχθαι, τὸ περιπλέκειν τοὺς πόδας. In hanc vocem Ariſtophanis in Acharn. ab Euſtathio laudatam ſic habet ejus Scholiaſtes: Ἀπεπλίξατο. Ἀπεσείσατο, ἀπέφυγεν. πλὶξ γὰρ, τὸ βῆμα· καὶ πλίγματα, τὰ πηδήματα· ἔνθεν καὶ τὸ περιβάδην ἀμφιπλὶξ παρὰ Σοφοκλεῖ ἐν Τριπτολέμῳ. καὶ Ὅμηρος·

Αἱ δ' εὖ μὲν τρώχων, εὖ δ' ἐπλίσσοντο πόδεσσιν.

Rufus Epheſius πληχάδα (ſeu fortaſſe πλιχάδα) τὸ μεταξὺ ἰσχίου, καὶ ἀποστήματος, καὶ μηροῦ vocat. Etymologus Magnus: Εὐπλίσσοντο. (Lege diviſim εὖ πλίσσοντο.) Καλῶς ἐβάδιζον καὶ διέβαινον· πλίσσεσθαι γὰρ, τὸ βάδην διαβαίνειν· καὶ πλίγμα, τὸ διάστημα τῶν ποδῶν. Σοφοκλῆς Τριπτολέμῳ·

Δράκοντα δ' ἄκρον ἀμφιπλὶξ εἰληφότες.

περιβάδην. Sic Pſeudodydimus in eumdem Homeri locum habet: Πλίσσοντο. Διέβαινον. πλίχος γὰρ, τὸ ὑπὸ τὰ αἰδοῖα δέρμα ὃ δεῖται (ſeu potius τείνεται, ut optime legit Clariſſimus Alberti ad Heſychium) διαβαινόντων. Notandum hic eſt Apollonium, Pollucem, Etymologum & Scholiaſt. Ariſtophanis legiſſe εὖ δ' ἐπλίσσοντο pro εὖ δὲ πλίσσοντο quod hodie habetur, & Euſtathio ac Pſeudodydimo placuit. Leve diſcrimen.

[a] Εὖ δ' ἐπλίσσοντο. Od. Z. 318.

τῶν δ' ἅπαξ εἰρημένων.

Ἐπορεξάμενος. [1] Ἐφορμήσας, ἐπεκτείνας.

Ἔπορον. Ἔδωκαν.

Ἔπουσαν. [2] Ἀπὸ τοῦ ἕπειν ὅ ἐστι παραγίνεσθαι.

——— Μετὰ Τυδέος [3] υἱὸν ἔπουσαν, οἷον πονουμένην.

Ἑπταβόειον. Ἑπτάβυρσον.

Ἑπταπόδην. [4] Τηλικαύτην τῷ μεγέθει, οἷον ἑπτὰ ποδῶν βάραθρον. [5]

Ἕπταχα. Εἰς ἑπτὰ μέρη.

Ἐπτύσσοντο. Ἐκραδαίνοντο.

Ἔγχεα [6] δ' ἐπτύσσοντο. ———

Ἐπώχατο. Τοῖς ὀχεῦσι λεγομένοις ὅπερ ἐστὶ μοχλοῖς, ἐπεὶ κεκλιμένοι [7] ἦσαν, ἐπωχλισμέναι, ὅ ἐστιν ἠσφαλισμέναι πᾶσαι. τὸ γὰρ πᾶσαι, ἀντὶ τοῦ ὅλαι.

——— Πᾶσαι γὰρ ἐπώχατο. ———

Ἐπαλλάξαντες. Ἅμμα [9] ποιήσαντες καὶ ἀντεπιβάλλοντες.

Πεῖραρ [10] ἐπαλλάξαντες. ———

Ἔραζε. Χαμαί, εἰς τὴν γῆν.

Ἐραννῆς. Ἐπεράστου, καλῆς.

---

1 Ἐπορεξάμενος. Il. E. 335.

2 Ἔπουσαν. Omiſſa eſt prior gloſſa: κονιμένην, φοιτῶσαν, ποιμένην, ut habet Heſychius.

3 Μετὰ Τυδέος. Il. K. 516.

4 Ἑπταπόδην. Il. O. 729:

Ἀλλ' ἀνεχάζετο τυτθὸν ὀϊόμενος θανέεσθαι, θρῆνυν ἐφ' ἑπταπόδην. — Vide Etymol. in θρῆνυς.

5 Βάραθρον. Mallem διαβάθραν; ut θρῆνυν explicat Schol. διαβάθραν ἀπὸ νηὸς ἐπὶ γῆν. Et Apollon. ἡ ἐν τοῖς πλοίοις ἀπὸ τοῦ τοίχου ἐπὶ τοῖχον διάβασις.

6 Ἔγχεα. Il. N. 134.

7 Ἐπεὶ κεκλιμέναι ἦσαν, ἐπωχλισμέναι.

Hæc vox ſemel occurrit.

Ἐπορεξάμενος. Inſiliens, cum extendiſſet haſtam.

Ἔπορον. Dederunt.

Ἐποῦσαν. Occupatam; ex verbo ἔπειμι, quod eſt *adeſſe:*

——— *Circa Tydei filium quaſi occupatam.*

Ἑπταβόειον. Ex ſeptem bubulis pellibus factum.

Ἑπταπόδην. Cujus talis eſt magnitudo, quaſi ſeptempedalem foſſam.

Ἕπταχα. In ſeptem partes.

Ἐπτύσσοντο. Criſpabantur:

Haſtilia autem criſpabantur. ———

Ἐπώχατο. Vectibus reclinatis ἐπωχλισμέναι, *id eſt*, munitæ erant. In hoc enim loco *omnes* dicitur pro *totæ:*

——— *Omnes enim vectibus munitæ erant.* ———

Ἐπαλλάξαντες. Cum nexum feciſſent & injeciſſent:

Funem cum innexum alligaſſent. ———

Ἔραζε. Humi, in terram.

Ἐραννῆς. Amabilis, pulchræ.

Fortaſſe legendum, μοχλοῖς ἐπικεκλιμέναις ἦσαν ἐπωχλισμέναι. Parvus Schol. habet, ἐπῳγμέναι, ἐπικεκλιμέναι ἦσαν. Euſtathius vero: πάσας γὰρ ἐπώχετο ὁ κτύπος δηλαδή, ἢ ἐπώχατο, ἤγουν ἐπιπορευθήσονται οἱ Τρῶες. ἢ μᾶλλον ἐπώχατο, ὃ ἔστι δι' ὀχέων ἤτοι μοχλῶν ἠσφαλίσαντο κλείσαντες οἱ Ἀχαιοί.... ἰστέον δὲ ὅτι τὸ ἐπώχατο σημαίνει ποτὲ ἐν ἄλλοις καὶ τὸ ἀνεῳγμέναι ἦσαν, ἀπὸ τοῦ ὦκτο, ὡς τέτευκτο τετεύχατο Ἰωνικῶς φασὶ καὶ Ἀττικῶς. Etym. Ἐπώχατο. σὺν τῷ Ι. ἡ ἐπὶ πρόθεσις ἀντὶ τῆς ἀπὸ, ἀπῷγμαι καὶ ἀπῳγμένη. τὸ τρίτον πρόσωπον κατὰ διάλυσιν, ἀπώχατο, ἀπὸ τοῦ οἴγω, ἀντὶ τοῦ κεκλεισμέναι ἦσαν.

8 Πᾶσαι. Il. M. 340. Ubi alii legunt πάσας.

9 Ἄμμα. Vide ſupra p. 332.

10 Πεῖραρ. Il. N. 359.

Ἐρατίζων. Ἐπιθυμῶν.

Ἔργον. Ὅτ' ἂν ψιλῶς Ὅμηρος ἔργα λέγει, μηδενὸς ἑτέρου συμφραζομένου, μηδ' ἐκ τῶν παρακειμένων δηλουμένων [1], τὴν γεωργίαν δηλοῖ.

Ἔρδειν. Ἐπὶ μὲν τοῦ θύειν·

Ἔρδον [2] δ' Ἀπόλλωνι. ———

ἐπὶ δὲ τοῦ πράσσειν·

Ἔρδ', ἀτὰρ [3] οὔ τοι πάντες ἐπαινέομεν Θεοὶ ἄλλοι.

Ἐρέθοντες. ' ρεθίζοντες.

Ἐρεμνή. Σκοτεινὴ, οἷον ἐρεβεννή· παρὰ τὸ ἔρεβος, ὅ ἐστι σκότος.

Ἐρεπτόμενον. [4] Ἀπὸ τοῦ ἔρας ἐσθίοντες, ὅ ἐστι κυρίως [5]

Λωτὸν [6] ἐρεπτόμενοι. ———

Ἐρετμόν. Κώπην.

Ἔρεσσον. Ἐλωπηλάτουν· ἀντὶ τοῦ ἤλαυνον.

Ἐρεῦσαι. Ἐρυθρὰν ποιῆσαι.

Ἔρεψα. Ἐστέγασα· ἀφ' οὗ ἡ ὀροφὴ, ἡ στέγη. κακῶς δ' ἀπέδωκαν τινὲς, τὸ ἐστεφάνωσα. [7]

Ἐρέων. Σημαίνων·

——— Φόως [8] ἐρέων ἐπὶ γαῖαν.

---

[1] Δηλουμένων. Clariſſimus Alberti qui hæc verba laudat, legendum cenſet δηλουμένου. Æque probarem δηλούμενον, cum ad ἔργον referretur. Quibuſdam ἔργον deducitur ex Hebraico ארג *texere*, unde & derivant ἐργάνη, *id eſt*, opificium, ſpecialiter lanificium.

[2] Ἔρδον. Il. Α. 315.

[3] Ἔρδ', ἀτάρ. Il. Δ. 29.

[4] Ἐρεπτόμενον. Lege ἐρεπτόμενοι.

[5] Κυρίως. Poſt hoc verbum, κυρίως, aliquid manifeſte deeſt. Supple: ὅ ἐστι κυρίως ἐπὶ τῶν νεμομένων τετραπόδων, ut habet Heſychius: ἐπὶ τῶν νεμομένων τετραπόδων,

Ἐρατίζων. Appetens.

Ἔργον. Cum ſimpliciter hanc vocem uſurpat Homerus, nec aliud addit, nec eam definit a circumſtantibus, agriculturam indicat.

Ἔρδειν. Uſurpatur pro ſacrum facere :

Sacrificabant autem Apollini. ———

Et pro facere :

Fac ; ſed non cæteri approbabimus Dii.

Ἐρέθοντες. Irritantes.

Ἐρεμνή. Obſcura, quaſi ἐρεβεννή ; ex ἔρεβος, quod eſt obſcuritas.

Ἐρεπτόμενον. Ex terrâ comedentes, quod proprie de brutis dicitur :

Lotum ex terrâ comedentes. ———

Ἐρετμόν. Remum.

Ἔρεσσον. Remos agitabant ; ſumitur pro ἐλαύνω, *id eſt*, remigabant.

Ἐρεῦσαι. Rubefacere.

Ἔρεψα. Texi ; unde & ἐροφὴ dicitur, *id eſt*, tectum. Male autem quidam interpretati ſunt, *coronavi.*

Ἐρέων. Indicans :

——— *Lucem indicans terræ.*

τάσσεται ἡ λέξις. Vel ſcribe κυρίως ἐπὶ τῶν ἀλόγων ζώων cum Schol. Pindari qui in hæc quartæ Pyth. (verſu 427) verba, στεφάνοισί τε ποίας ἔρεπτον, ſic habet & interpretatur : κυρίως δὲ τὸ ἐρέπτειν, ἐπὶ τῶν ἀλόγων ζώων τάσσεται, ὅτι ἐπὶ τῇ ἔρᾳ, τουτέστι τῇ γῇ, ἐσθίουσιν.

6 Αὐτόν. Od. I. 97.

7 Ἐστεφάνωσεν. Alludit ad verſum Iliadis A. 39 :
Σμινθεῦ, εἴ ποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα ;
quod quidam explicabant *coronavi*, ut Heſ. qui habet : Ἐστεφάνωσεν, Ἔρεψε.

8 Φόως. Il. Ψ. 226.

σημαίνει δέ ποτε, τὸ ἐρευνήσων, [1] ζητήσων.

Ἐρηρέδαται. Ἐρηρισμένοι εἰσίν. Ἰακὸν δὲ τὸ σχῆμα τοῦ ῥήματος.

Ἐρητύειν. Κωλύειν· τὸ δ' αὐτὸ καὶ ἐπὶ τοῦ, ἐρητύσασκε. [2]

Ἐρήτυθεν. [3] Διακατεῖχον.

Ἐρχθέντα. [4] Ἐν ὕδατι πνιγέντα.

Ἐριαύχενας. Μεγαλαύχενας. ἐπίθετον δέ ἐστι τοῦ ἵππου.

Ἐριγδούπου. Μεγαλοδούπου. καταστρέφει δὲ εἰς ἴσον τῷ ἠχηέσσης. καὶ αἰθούσης ἐριδούπου. [5]

Ἔριζεν. Ἐξισοῦτο.

Ἐριθηλέας. Μεγάλως θάλλοντας.

Ἐρικόμενος. [6] Διαῤῥηγνύμενος, διασχιζόμενος· ἀφ' οὗ καὶ ἐριγμὸς, ὁ παραγεγραμμένος ὑπὸ τῆς συνηθείας ἐρειγμὸς, [7] ὁ λεγόμενος διεσχισμένος κύαμος.

Ἐρικυδέα. Μεγαλόδοξα.

Ἐριούνιος. Ἐπίθετον τοῦ Ἑρμοῦ. ὁ μεγάλως ὀνίσκων, τοῦτ' ἔστι, ὀφελῶν. οἱ δὲ νεώτεροι, τοῦ χθονίου· [8] παρὰ τὴν ἔραν.

Ἔρις. Ἐπὶ μὲν τῆς φιλονεικίας·

Λῆγ' ἔριδος κρατερῆς. [9] ——

---

1 Ἐρέων. Hoc ſenſu legitur, Il. H. 128:

Πάντων Ἀργείων ἐρέων γενεήν τε τόκον τε.

& Od. Φ. 31:

Ἵππους δ' αὐτὸς ἔχε κρατερώνυχας ἐν μεγάροισι.
Τὰς ἐρέων Ὀδυσῆι συνήντετο. —

2 Ἐρητύσασκε. Il. B. 189. & Δ. 566.

3 Ἐρήτυθεν. Il. B. 99. & 211.

— Ἐρήτυθεν δὲ καθ' ἕδρας.

Occupabant autem ſubſellia. —

4 Ἐρχθέντα. Il. Φ. 282:

Ἐρχθέντ' ἐν μεγάλῳ ποταμῷ. —

5 Ἔριδος. Lege ἐριδούπου quod occurrit Od. Γ. 493.

Ἐκ δ' ἔλασαν προθύροιο καὶ αἰθούσης ἐριδούπου.

Ἔριδος in Apollon. abſurde ponitur. Αἰθούσης ἐριδούπου legitur quoque Il. Ω. 323.

6 Ἐρικόμενος. Lege ἐρεικόμενος. Il. N. 441:

Significat aliquando & inveſtigaturus, quæſiturus.

Ἐρηρέδαται. Infixi ſunt. Ionica autem eſt hæc orationis figura.

Ἐρητύειν. Impedire; idem quoque dicendum de ἠρητύκακε, *id eſt*, retinebat.

Ἐρήτυθεν. Occupabant.

Ἐρχθέντα. In aquâ ſuffocatum.

Ἐριαύχενας. Qui habent magnum collum. Epithetum autem eſt equorum.

Ἐριγδούπου. Qui magnum ſonitum edit. Significat autem idem a ἠχέος, *id eſt*, reſonans & ſonorus:

——— Sonori porticûs.

Ἔριζεν. Æquabatur.

Ἐριθηλέας. Valde florentes.

Ἐρικόμενος. Ruptus, fiſſus; unde & dicitur ἐρειγμὸς, quod vulgo male ſcribitur ἐρεγμὸς, *id eſt*, faba freſſa & fracta.

Ἐρικυδέα. Valde glorioſa.

Ἐριούνιος. Epithetum Mercurii qui valde ὀνίνησι, *id eſt*, utilitatem affert. Recentiores vero intelligunt ſubterraneum, ex ἔρας quod eſt terra.

Ἔρις. Sumitur pro contentione:

Ceſſabat a contentione validâ. ———

Αἱ τότε γ' ἄνευ ἀϋτῆς ἐρισχέθοντο περὶ δουρί:

7 Ἐρειγμός. Apud Heſ. dicitur ἐρεγμὸς, ὁ κύαμος ὁ διακεκομμένος, qui apud eumdem vocatur quoque ἐρικὰς, & ἐρίκειν pro quo dicitur & ἐρέχθειν, *id eſt*, διακόπτειν. Quin & nominatur ἔτνος; & quæ hujuſmodi fabas præbet, appellatur ἐρεψιῶσα.

8 Χθονίῳ. Τὸν χθόνιον legendum eſſe optime monuit Alberti. Apud Æſchyl. in primo Choeph. verſu legitur, Ἑρμῆ χθόνιε.

9 Λῦγ' ἱμάντι κρατεροῖς. Il. Λ. 319. λῦγ' ἱμάντος; non vero additur κρατεροῖς quod ſolummodo cum ἱμάντος conjunctum reperitur in hoc verſu, Il. N. 358:

Τὼ δ' ἱμάντος κρατερῆς καὶ ὁμοιίου πολέμοιο.

Sed hoc leve eſt μνήμης σφάλμα.

ἐπὶ δὲ τοῦ Θεοῦ·

Ζεὺς δ' Ἔριδα [1] προΐαλλε θοὰς ἐπὶ νῆας Ἀχαιῶν.

ἘΡΙΣΘΕΝΈΟΣ. Μεγαλοσθενοῦς.

ἘΡΙΤΊΜΟΙΟ. Μεγαλοτίμου·

—— Ἐριτίμοιο [2] χρυσοῖο.

ἙΡΚΊΟΥ. [3] Τοῦ κατὰ τὴν οἰκίαν ἐντὸς ὄντος ἕρκους. Διὸς δ' ἐστὶν ἐπίθετον.

Ἐρικείου [4] πρὸ βωμὸν ἐρισθενέως Κρονίωνος.

ἝΡΚΟΣ. Ἐπὶ μὲν τῆς ἀσφαλείας·

Ἕρκος ἔμεν [5] πολέμοιο. ——

ὅτε δ' ἐπὶ τοῦ τείχους·

Αἱμασιὰς λέξαντες [6] ἀλωῆς ἔμμεναι ἕρκος.

ὅτε δ' ἐπὶ λείνου· [7]

Ἕρκει ἐνιπλήξωσιν, [8] ὅ θ' ἑστήκει ἐν θάμνῳ.

ὅτε δὲ ἐπὶ τοῦ φράγματος τῶν ὀδόντων·

Ἀτρείδη, [9] ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων.

ἝΡΜΑΤΑ. Τὰ ἐρείσματα·

Ὑψοῦ [10] ἐπὶ ψαμάθοις· ὑπὸ δ' ἕρματα μακρὰ τάνυσσαν.

---

1 Ζεὺς δ' Ἔριδα. Il. Λ. 3.

2 Ἐριτίμοιο. Il. I. 126.

3 Ἑρκίου. Sic quoque habet Etymologus per ſimplex *iota*. Sed lege ἑρκείου. Ex affinitate pronunciationis oritur hoc mendum. Pejus infra in verſu ſcribitur, ἐρικείου.

4 Πρό. Lege πρὸς, & ἐρισθενέος, loco τοῦ ἐρισθενέως. Sic tamen hic verſus legitur apud Hom. Od. X. 335:

— Διὸς μεγάλου ποτὶ βωμὸν
Ἑρκείου. —

Memoriter citavit Apollon. & lapſus eſt.

5 Ἕρκος ἔμεν. Il. Δ. 299.

6 Αἱμασιὰς λέξαντες. Od. Ω. 223. In

Et

Et pro Deâ:

Jupiter autem Diſcordiam immiſit in celeres naves Achivorum.

'Ερισθενέος. Qui habet magnam vim.

'Εριτίμοιο. Quod in magno pretio habetur:

——— *Auri quod habet magnum pretium & in magno honore habetur.*

'Ερκίου. Qui eſt in domo, intra ſeptum domûs. Jovis autem eſt epithetum:

Domûs præſidis ad aram præpotentis Saturnii.

"Ερκος. Aliquando quidem ſecuritas:

Belli eſſe propugnaculum. ———

Et quum pro muro accipitur:

Sentes collecturi vineti futuras ſepem & murum.

Aliquando retia ſignificat:

Reti impingunt, quod ſtat in fruticeto.

Et pro munimento dentium:

Atride, quale tibi verbum fugit ex ſepto dentium?

"Ερματα. Fulcra:

Alte ſuper arenas: ſubtus vero fulcra longa tetenderunt.

Homero legitur λέξοντες. Vide Thomam Magiſtrum in ἕρκος, ubi docet hanc vocem propriam Atticorum eſſe.

7 Λείνα. Lege λίνα. Sic in Pindari Nem. Od. Γ. 3. ἀντιστρ. ἐθάμβεεν Ἄρτεμίς τε καὶ θρασεῖ' Ἀθάνα, κτείνοντ' ἐλάφους ἄνευ κυνῶν δολίων θ' ἑρκέων. At in decimâ Nemeor. ſumitur pro thecis: Ἐν ἀσγίων ἕρκεσιν παμποικίλοις.

8 Ἕρκει ἐνιπλήξωσιν. Od. Χ. 469. In Homero pro ἐνιπλήξωσιν ἰθ', legitur ἐνιπλήξωσι, τόθ'.

9 Ἀτρείδη. Il. Δ. 350.

10 Ὕψοῦ. Il. Α. 486.

ἐστὶ δὲ τῶν ἐναντίων·

Ἐν δ' ἄρα [1] ἕρματα ἧκεν ἐϋτρήτοισι λοβοῖσι.

καὶ ἐν Ὀδυσσείᾳ·

Ἕρματα [2] δ' Ἐρυδάμαντι δύω θεράποντες ἔνεικαν.

ἐστὶ δὲ τοῦ·

——— Μελαινάων [3] ἕρμ' ὀδυνάων.

ὁ μὲν Ἀρίσταρχος ἀθετεῖ τὸν στίχον λέγων· οἷον γάρ φησι ἔρεισμα τῶν ὀδυνῶν λέγεται, ἔπαινον γὰρ οὐκ ἔχει τοῦ δυναμένου ὀδυνῆσαι; ὁ δὲ Σιδώνιος βοηθῶν τῷ λεγομένῳ, ἀκούει τὸ ἐρεῖδον [4] πρὸς τὰς ὀδύνας.

Ἑρμῖν'. Ἀπὸ τοῦ ἐρείδεσθαι·

Ἑρμῖν' ἀσκήσας· τέτρηνε [5] δὲ πάντα τερέτρῳ.

σημαίνει δὲ καὶ πόδα κλίνης. ὁ δὲ Ἀρίσταρχός φησι· ἑρμῖνας ἐκάλουν τοὺς πόδας τῶν κλινῶν. οὗτοι δὲ ἦσαν σφηνοειδεῖς τῇ κατασκευῇ. τῶν ἅπαξ εἰρημένων.

Ἑρνεϊ. [6] Δένδρῳ θάλλοντι·

——— Ὁ δ' ἀνέδραμεν [7] ἔρνεϊ ἶσος.

Ἔρεξεν. Ψιλῶς τὸ ἔρξαι. [8]

---

[1] Ἐν δ' ἄρα. Il. Ξ. 182.

[2] Ἕρματα δ' Ἐρυδάμαντι. Od. Σ. 296. Lege Εὐρυδάμαντι. Etymol. εἰ μὲν δασύνεται, σημαίνει ἐρείσματα, στηρίγματα, βαστάγματα.... εἰ δὲ ψιλοῦται, σημαίνει τὰ ἐναντία. Derivatur ex Ar. ערם, *id eſt*, aggeres obiceſque aquarum, & ערמה *accumulatæ arenæ, cumulus frumenti.*

[3] Μελαινάων. Il. Δ. 117.

[4] Ἐρεῖδον. Schol. interpretatur ἔρεισμα, τὸ ἐνερεῖδον τὰς ὀδύνας, *alte infigens dolores*, quod mallem quam ἐρεῖδον πρὸς τὰς ὀδύνας.

[5] Ἑρμῖν' ἀσκήσας τέτρηνε. Od. Ψ. 198. Lege τέτρηνε. Pro ἑρμῖνα alii ſcribunt ἕρμινα. Heſychius habet: Ἑρμίς. Τόρνος. τοῦ κλίνης.

[6] Ἔρνει. Notandum eſt quoſdam ſpiritu

Et pro inauribus :

Inaures autem immiſit in ſcite perforatas auriculas.

Et in Odyſſeâ :

Inaures autem Eurydamanti duo famuli ferebant.

Et in hoc loco :

——— *Gravium fulcrum dolorum ,*

Ariſtarchus hunc verſum delendum cenſet ; quale enim ait dici fulcrum dolorum ? nunquam enim id laudat quod poteſt dolorem inferre. Sidonius vero, ut dictum defendat, interpretatur : firmans adverſus dolores.

'Ερμῖν'. Sic dicitur fulcrum , ἀπὸ τοῦ ἐρείδεσθαι , *id eſt ,* quod infixum inhæreat :

Fulcrum faciens : terebravi autem omnia terebrâ.

Notat & pedem lecti. Ariſtarchus vero dicit : ἑρμῖνας vocabant pedes lectorum ; hi enim erant conſtructione ad cunei figuram accedente. Hæc vox ſemel occurrit.

[7]'Ερνεϊ. Arbori vireſcenti :

——— *Hic autem crevit arbori vireſcenti ſimilis.*

[8]'Ερεξεν. Idem quod ſimplex ἔρξεν , *fecit.*

---

aſpero notare τὸ ἔρνος. Comparatio Homerica non multum abludit ab hâc Davidicâ : *Filii tui ſicut novellæ olivarum.*

7 'Ο δ' ἀνέδραμεν ἔρνεϊ ἶσος. Il. Σ. 437.

8 'Ερεξαν. Lege ἔρξεν , quod extat Od. Ψ. 312 :

'Ηδ' ὅτε Κύκλωψ ἔρξε , —

idem quod ἔρεξε Il. Ε. 375. Fortaſſe invertendus eſt ordo , & legendum , ut ſeries Alphabeti ſuadet : "Ερξεν. ψιλῶς τὸ ἔρεξεν. Sed prior lectio retineri poteſt. Cum enim ſupra ἔρδειν interpretatus fuerit θύειν , hîc innuit hoc verbum aliquando & ſumi pro ſimpliciter *facere.*

Ἑρπύζων. Ἀντὶ τοῦ ἕρπων, πορδύμενος. [1] κατ' ἐπέκτασιν δὲ λέγεται καὶ ἑρπυστάζων.

Ἔῤῥε. Φθείρου.

Ἐῤῥίγησι. Πεφρίκῃ, φρίξῃ, φοβεῖται. [2]

Ἔῤῥων. Μετὰ φθορᾶς πορευόμενος.

——— Τὰ κάλλιστον [3] ἐνθάδε ἔῤῥων.

Ἔρσα. Δρόσος. λέγεται δὲ ἔρσα καὶ τὰ ἁπλὰ [4] τῶν προβάτων.

Ἐρυμνήν. [5] Ὑψηλήν.

Ἐρύουσι. Ἀντὶ τοῦ ἐρύσωσιν. σημαίνει δὲ τὸ ἕλκουσι, [6] δι' οὗ δηλοῦται τὸ κατέδονται. τοιοῦτοι γὰρ οἱ γύπες [7] ἀντιβαίνοντες τοῖς ποσὶ, τοῖς στόμασι ἐσθίουσι.

Ἐρύσομεν. Ἑλκύσομεν.

Ἐρωδιός. [8] Εἶδος ὀρνέου. τῶν ἅπαξ εἰρημένων.

Ἐσεμάσσατο. Οἷον καθήψατο [9] τῆς ψυχῆς.

Ἐσήκασθεν. Κατὰ σηκοὺς ἠλάθησαν. ἐπὶ [10] τῶν προβάτων.

Ἔσθος. Ἔσθημα. ἱμάτιον.

Ἔσκε. Ἦν.

---

[1] Πορδυόμενος. Simpliciter vadens. Il. Ψ. 225. de Achylle:

Ἑρπύζων παρὰ πυρκαϊήν. —

& Od. N. 220:

Ἑρπύζων παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης.

Sic in Pindari Iſthm. Od. 4. στροφ. Γ.

τοῦτο γὰρ ἀθάνατον φωνᾶεν ἕρπει, εἴ τις εὖ εἴπῃ τι. Sic & apud Sophocl. in Ajace, ἐξόδους ἕρπειν κενάς.

[2] Φοβεῖται. Lege φοβῆται.

[3] Τὰ κάλλιστον. Il. I. 364.

[4] Ἁπλά. Nullo ſenſu. Lege ἁπαλά. Locus eſt Hom. Od. I. 221:

— Χωρὶς μὲν πρόγονοι, χωρὶς δὲ μέτασσαι,

Χωρὶς δ' αὖθ' ἕρσαι. —

Sic dixit Æſchyl. in Agamemnone, verſu 145:

Δρόσοισιν ἀέπτοισι μαλερῶν ὄντων.

Sic Gallice dicimus : *tendre comme de la roſée.*

[5] Ἐρυμνήν. Vide præſtantiſſimum Ruhnkenium ad Timæum, voce ἐρυμνά.

[6] Ἕλκουσι. Mallem ἑλκύσουσι, ut habet Schol.

'Ερπύζων. Dicitur pro ἕρπων, *id eſt*, incedens, vadens; per ſuperextenſionem dicitur quoque, ἑρπύζειν.

'Ἔῤῥε. Abi in malam rem.

'Ἐῤῥίγῃσι. Horreat, tremat, timeat.

'Ἔῤῥων. In malam rem vadens:

——— Quæ reliqui malis avibus huc veniens.

'Ἕρσα. Ros: ſic vocantur & mollia pecora.

'Ἐρυμνήν. Altam.

'Ἐρύουσι. Sumitur pro ἑλκοῦσι. Significat & trahunt, unde notatur *vorant*. Tales enim ſunt vultures qui pedibus renitentes, ore vorant.

'Ἐρύσομεν. Trahemus.

'Ἐρωδιός. Species avis. Hæc vox ſemel occurrit.

'Ἐσεμάσσατο. Vehementius animum tetigit.

'Ἐσηκάσθεν. Stabulo incluſi ſunt. De pecoribus proprie dicitur.

'Ἐσθος. Veſtis, veſtimentum.

'Ἔσκε. Erat.

---

7 Γύπες. Sic in Heſ. At in omnibus verſibus ubi reperitur ἐρύουσιν, ſemper conjungitur cum κύνες. Il. O. 351:

Ἀλλὰ κύνες ἐρύουσι —

& Il. X. 66:

— Κύνες πρώτῃσι θύρῃσι

Ὠμησαὶ ἐρύουσι. —

Sed fortaſſe Heſ. & Apoll. legebant γύπες pro κύνες.

8 'Ερωδιός. Il. K. 274.

9 Καθήψατο. Explicat Schol. καθῆψε καὶ ἐλύπησε τὴν ψυχήν. Sic illud apud Euripidem adeo frequens ἵκετο, ἵκετο φρένα Il. P. 564:

— Μάλα γάρ με θανὼν ἐσεμάσσατο θυμόν.

10 Ἐπί. Omiſſum eſt κυρίως. Nam proprie quidem de pecudibus dicitur; ſed Trojanis attribuitur, ut in illo verſu, quem reſpexit:

Καί νύ κε σήκασθεν.

pro quo legiſſe videtur Il. Θ. 131.

Καί νύ κε σήκασθεν κατὰ Ἴλιον ἠΰτε ἄρνες.

Σήκασθεν autem, ut animadverſum eſt ab Henrico Stephano, eſt Boeotica ſyncope pro ἐσηκάσθησαν.

Ἕσπερος. Ὅτι μὲν ὁ αὐτὸς ἀστὴρ, ὁ Ἕσπερος.[1]

——— Ὃς κάλλιστος[2] ἐν οὐρανῷ ἵσταται ἀστήρ.

ὅτι δὲ ἡ ἑσπέρα, ἀρσενικῶς·

——— Μέλας[3] ἐπὶ ἕσπερος ἦλθε.

Ἕσσο. Γίνου·

Ἄλκιμος ἔσσο.[4] ———

Ἐστέ. Γίνεσθε·

Ἀνέρες[5] ἐστὲ φίλοι. ———

ἐὰν δέ ἐστι ὁριστικῶς, ὑπάρχετε·

——— Ἐστὲ δὲ πάντες[6]

Μάρτυροι. ———

Ἕστορι.[7] Τὸν πρὸ τοῦ κρίκου τοῦ ῥυμοῦ τόπον.

Ἐστόρεσεν. Ἔστρωσεν.

Ἐστυφέλιξεν. Ἐκίνησεν, ἔσεισεν, ἐδίνησεν, ἐστρόμβησεν.

Ἐσχάρα. Βωμὸς ἰσόπεδος,[8] οὐδὲ ἐκ λίθων ὑψωμένος. ὅτ' ἂν δὲ λέγει·

Τὴν μὲν ἔπειτ'[9] ἔστησαν ἐπ' ἐσχάρῃ, ———

τὴν βάσιν λέγει, οὐ τὸν οἶκον ὅλον.

---

[1] Ἕσπερος. Poſt hoc Ἕσπερος, omiſſum eſt alterum Ἕσπερος initium verſûs ſequentis;

Ἕσπερος ὃς κάλλιστος. —

Prius Ἕσπερος pertinet ad ὁ αὐτὸς ἀστὴρ, ὁ Ἕσπερος: Ipſamet ſtella, ſcilicet ea quæ dicitur Heſperus, de quâ eleganter Moſchus:

Ἕσπερε, τᾶς ἐρατᾶς χρύσεον φάος Ἀφρογενείας,

Ἕσπερε, κυανέας ἱερὸν φίλε νυκτὸς ἄγαλμα,

Τόσσον ἀφαυρότερον μήνας, ὅσον ἔξοχος ἄστρων,

Χαῖρε φίλος. —

Clericus deducit ex Phœn. אשפירי eſpiri, *pulcherrimus*, & affert verſum Homeri ſupra laudatum.

[2] Ὃς κάλλιστος. Il. Χ. 318.

[3] Μέλας. Od. Α. 423.

[4] Ἄλκιμος ἔσσο. Od. Α. 302.

[5] Ἀνέρες. Il. Ρ. 185.

[6] Ἐστὲ δὲ πάντες. Il. Β. 301.

ἙΣΠΕΡΟΣ. Aliquando quidem ipſamet ſtella Heſperus dicta:

Heſperus, quæ pulcherrima in cælo ſtat ſtella.

Quum vero eſt veſpera, in maſculino ponitur:

——— *Nigra veſpera ſupervenit.*

ἜΣΣΟ. Eſto:

Fortis eſto. ———

ἘΣΤΈ. Eſtote:

Viri eſtote, o amici. ———

Quum vero eſt in indicativo, ſignificat *eſtis*:

——— *Eſtis autem cuncti*

Teſtes. ———

ἝΣΤΟΡΙ. Locum temonis annulo præpoſitum.

ἘΣΤΌΡΕΣΕΝ. Stravit.

ἘΣΤΥΦΈΛΙΞΕΝ. Movit, concuſſit, circumegit, in turbinis modum verſavit.

ἘΣΧΆΡΑ. Ara plana & æqualis, neque ex lapidibus exaltata. Cum vero dicit:

Hanc quidem poſtea poſuerunt in foco, ———

focum intelligit, non vero totam domum.

---

7 Ἕστορι. Invenitur Il. Ω. 272:

— Ἐπὶ δὲ κρίκον ἕστορι βάλλον.

Videſis Heſ. & Schol. Pro ἕστορι mallem ἕστορα, aut in gloſsâ τῷ.... τόπῳ.

8 Ἰσίανδος. Photius in Lexico Manuſcripto ab Alberti laudato definit ἐσχάραν, ἡ ἐπὶ γῆς ἐστὶν στρογγυλοειδής. ὁ δὲ βωμὸς, τὸ ἐν ὕψει ὢν ἐπὶ πρὸς θυσίαν οἰκοδόμημα. Ergo βωμὸς erat aliquid altius & ſublimius. Et revera derivatur ab Hebraico במה locus excelſus, & in ſpecie delubrum excelſum in colle religionis cauſâ conſtitutum. In excelſis locis Iſraelitæ ſacrificabant, ut toties illis a Deo exprobatum fuit. Hinc docet Euſtath. proprie dici βωμοὺς θεῶν, ἐσχάρας δ' ἡρώων. In ſecundo verſu pro τὴν μὲν ἔπειτ', hodie legitur τόν. Vide Harpocrationem in vocem ἐσχάρα, & Etymologum.

9 Τὴν μὲν ἔπειτ'. Od. Ξ. 420.

Ἐσφήκοντο.[1] Ἐδίδοντο.[2]

Ἔσχεν. Ἐπέσχε· σημαίνει δὲ ποτὲ καὶ ἔχισε,[3] ἀντὶ τοῦ προσέσχεν.

Ἔσχοντο. Κατεσχέθησαν.

Ἔται. Πολίται, ἑταῖροι, συνήθεις.

Ἑταῖροι.[4] Φίλοι.

Ἐτάλασσεν. Ἐτόλμησεν, ὑπέμεινεν.

Ἑταιρίσσαι. Ἑταίρῳ γενέσθαι καὶ συνεργῷ·

Ἀνδρὶ[5] ἑταιρίσσαι. ———

Ἐτεκμήραντο.[6] Ἐπὶ τέκμαρ ἤγαγον, ὅ ἐστι ἐπὶ πέρας.

Ἐτεοκρῆτες. Οἱ αὐτόχθονες καὶ γνησιότατοι Κρῆτες.

Ἑτεραλκέα. Τὴν τοῖς ἑτέροις τῶν ἀνθισταμένων ἀλκὴν παρέχουσαν.[7]

Ἑτερήμεροι.[8] Παρ' ἡμέραν·[9]

Ἄλλοτε[10] μὲν ζώουσ' ἑτερήμεροι, ἄλλοτε δ' αὖτε
Τεθνᾶσιν. ———

Ἐτέταλτο. Ἐπετέλλετο, ἐπετέτακτο·

Τῷ δ'[11] ἐπὶ πάντ' ἐτέταλτο. ———

---

1 Ἐσφήκοντο. Sic & apud Heſ. Lege cum Homero Il. P. 52. ἐσφήκωντο.

2 Ἐδίδοντο. Lege ἐδίδυντο.

3 Ἔχισε. Nullo ſenſu. Fortaſſe legendum ἤχισε. Facilis mutatio ob affinitatem pronunciationis; & ſic conveniret cum προσέσχε.

4 Ἑταῖροι. Ἑταῖρος plus eſt quam ἔτης, & ſæpiſſime accipitur pro comeſſationum & libidinum ſocio; unde ἑταίρα eſt φίλη, πόρνη: & ἑταιρίστριαι Attice dicuntur τριβάδες, ut obſervat Mœris Atticiſta. Vide Photium Mſ. Suidam, ac Timæum. Erat & ἑταίρας Ἀφροδίτης templum Athenis & Epheſi, docente Athenæo, lib. 13. ut & Ἀφροδίτης πόρνης, Abydi. Quidam ἑταῖρος deducunt ex הִתְרָעָה, *id eſt*, ſe ſocium & amicum præbere.

5 Ἀνδρί. Il. Ω. 335.

'Εσφήκοντο. Revincti erant.
Ἔσχε. Inhibuit. Significat aliquando *appropinquavit*; & idem eſt ac προσέχειν.
Ἔσχοντο. Detenti fuerunt.
Ἔται. Cives, amici, familiares.
Ἑταῖροι. Amici.
Ἐτάλασσεν. Auſus eſt, ſuſtinuit.
Ἑταιρίσσαι. Amicum & adjutorem eſſe:

Viro adjutorem eſſe. ———

Ἐτεκμήραντο. Perduxerunt ad τέκμαρ, *id eſt*, ad finem.
Ἐτεοκρῆτες. Indigenæ & legitimi germanique Cretenſes.
Ἑτεραλκέα. Quæ oppoſitæ hoſtium parti victoriam præbet.
Ἑτερήμεροι. Alternis diebus:

Alias quidem vivunt alternis diebus, alias autem rurſus
Moriuntur. ———

Ἐτέταλτο. Mandabatur, committebatur:

Huic autem omnia erant commiſſa. ———

---

6 'Ετεκμήραντο. Reſpexit ad verſum Il. Z. 349:

Αὐτὰρ ἐπεὶ τάδε γ' ὧδε θεοὶ κακὰ τεκμήραντο,

pro quo legebat Apoll. κακ' ἐτεκμήραντο.

7 Πειρῶσαν. Optime ex Heſ. corrigit Alberti περιπειρῶσαν. Occurrit Il. H. 26:

— Μάχης ἑτεραλκέα νίκην.

8 'Ετερήμεροι. De Caſtore & Polluce loquitur, de quibus ait Pindarus in decimâ Nemeâ:

— Μεταμειβόμενοι δ' ἐναλλὰξ, ἁμέραν τὰν μὲν παρὰ πατρὶ φίλῳ Διῒ νέμονται, τὰν δ' ὑπὸ κεύθεσι γαίας.

9 Παρ' ἡμέραν. Schol. poſt ἡμέραν addit, ἀμφότεροι, ἢ μίαν παρὰ μίαν ἡμέραν ζῶντες; quæ ultima verba ex Apollon. excidiſſe puto.

10 Ἄλλοτε. Od. Λ. 302.

11 Τῷ δ' ἐπί. Il. B. 643.

Ἔτετμεν. Κατέλαβεν·

——— Χαλεπὸν [1] δ᾽ ἐπὶ γῆρας ἔτετμεν.

Ἐτύγχανεν. Ἐπετύγχανεν.

Ἑυ. Σημαίνει τὸ ἑαυτὸ, [2] ἑαυτοῦ, ἢ αὐτῆς·

Ἔι πως ἑυ πεφείδοιτο. [3] ———

καί·

——— Ἑυ κράτος [4] ἐστὶ μέγιστον.

σημαίνει δὲ καὶ τὸ καλῶς·

Ἢ ἑυ, ἠὲ [5] κακῶς. ———

Ἔτορε. Διέτρωσεν.

Ἕυαδεν. Ἥρεσεν.

Ἐυδίελον. [6] Ἤτοι ἑυ πρὸς τὴν δείλην [7] κειμένην τὴν Ἰθάκην· ἐπιφέρει γὰρ πρὸς δύσιν. ἢ ἀντὶ τοῦ ἐυδέελον, εὔδηλον, εὐπερίορισον. νῆσος γάρ ἐστιν.

Ἐυηγενέων. [8] Κατὰ παρέμπτωσιν τοῦ Η.

Ἐυηγεσίης. Ἐυαρχίας· [9] ἀπὸ τοῦ ἡγεῖσθαι.

Ἐυήνορα. Τὸν ἄνδρα εὖ διατιθέντα καὶ δύναμιν περιποιοῦντα·

——— Φέρον [10] δ᾽ εὐήνορα οἶνον.

ὅτ᾽ ἂν δ᾽ εὐήνορα χαλκὸν [11] εἴπῃ, σημαίνει τὸν εὖ διακείμενον

---

[1] Χαλεπόν. Sic verſus legitur in Homero Od. Λ. 218:

—Ὃν κλειάτεσσιν ἰοῖς ἔπι γῆρας ἔτετμε.

Sæpe memoriter laudabant veteres Critici, nec ſemper ita accurate; ut & ipſi Longino accidit.

[2] Ἑαυτό. Lege ἑαυτόν.

[3] Ἔι πως ἑυ πεφείδοιτο. Il. Υ. 464. Pro πεφείδοιτο, lege πεφίδοιτο.

[4] Ἑυ κράτος. Il. Ω. 293.

[5] Ἢ ἑυ, ἠὲ κακῶς. Il. Β. 253.

[6] Ἐυδίελον. Lege ἐυδείελον. Apud Pindarum quoque legitur quartâ Pyth. & primâ Olymp. Δ. ἱππῷ.

— Ἐπίκουρον ἀρῶν

Ὁδὸν λόγων, παρ᾽ ἐυδείελον ἐλθὼν

Κρόνιον. —

Ἔ**ΤΕΤΜΕΝ**. Occupavit :

——— *Difficilis vero ſenectus occupavit.*

Ἐ**ΤΥΓΧΑΝΕΝ**. Incidit.

Ε**Υ̓͂**. Significat ſe ipſum, ſuî ipſius, aut illius :

Si quomodo ſibi parceret. ———

Et :

——— *Illius robur eſt maximum.*

Significat & *bene :*

An bene, an male. ———

Ἔ**ΤΟΡΕ**. Perforavit.

Ἕ**ΥΑΔΕΝ**. Placuit.

Ἐ**ΥΔΕΊΕΛΟΝ**. Aut optime ad occaſum ſitam : de Ithacâ loquitur ; vergit enim ad occaſum. Aut ſumitur pro εὔδηλον, *id eſt*, manifeſtam, quæ facile terminari ſeu circumſcribi poteſt ; nam eſt inſula.

Ἐ**ΥΗΓΕΝΈΩΝ**. Nobilium ; per inſertionem τοῦ η.

Ἐ**ΥΗΓΕΣΊΗΣ**. Optimæ adminiſtrationis ; ex verbo ἡγεῖσθαι, quod eſt præeſſe.

Ἐ**ΥΉΝΟΡΑ**. Viros bene afficientem & diſponentem, & illis vires acquirentem :

——— *Afferebantque vinum bene confirmans viros.*

Quum vero æs vocat εὐήνορα, ſignificat ferrum optime diſpoſi-

---

quod Triclinius exponit : τὸ μετέωρον, καὶ καλῶς ἔχοντα τοῦ ἡλίου κατὰ τὰ πρὸς ἑσπέραν, καὶ τὰ περὶ τὴν ἑσπέραν.

7 Δείλην. Eſt δείλη, ex Schol. ἡ δύσις, τουτέστιν ἑσπερία.

8 Ἐυηγενέων. Omiſſa eſt gloſſa, ſcilicet εὐηγενῶν. Il. Ψ. 81, Τρώων εὐηγενέων. Theocritus εἰδ. ΚΖ, 42 :

Ἐξ εὐηγενέων· ἀλλ' οὐ σέθεν εἰμὶ χερείων.

9 Ἐυαρχίας. Alii, teſte Heſ. & Etym. εὐδαιμονίας intelligunt.

10 Φέρον. Od. Δ. 622.

11 Ἐυήνορα χαλκόν. Od. Ν. 19.

πρὸς τὴν ἠνορέην σίδηρον, ἤτοι πρὸς τὴν ἀνδρίαν. [1]

Ἐυλάς. Σκώληκας·

Ἐυλὰς [2] ἐγγείνωνται. ———

Ἔυληρα. [3] Τῶν ἅπαξ εἰρημένων. σημαίνει δὲ τὰς ἡνίας, οἱονεὶ εἴληρα· ἀπὸ τοῦ περιειλεῖσθαι τοὺς ἱμάντας χερσὶ τῶν ἡνιόχων.

Ἐυνάς. Ἐπὶ μὲν τῶν ἀγκύρων·

——— Ἐυνὰς [4] δ' ἔβαλον. ———

ἐπὶ δὲ τῶν κοιτῶν·

Πλησίων ἀλλήλων εὐνάασυσι. [5] ———

λέγει δὲ καὶ κατ' ἐπέκτασιν ἀγκύρας, εὐναίας. εἴρηνται δὲ εὐναὶ αἱ ἄγκυραι κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν κοιτῶν. τὸ γὰρ σκάφος ἑστὸς καὶ ἠρεμοῦν ὥσπερ ἐπευνάζεται ταῖς ἀγκύραις.

Ἐυνήσαιμι. Κοιμήσαιμι·

Ὀυδὲ κατευνήσαιμι, [6] ὅτε μὴ αὐτός γε Κρονίων. [7]

Ἔυνις. Ἐπιδεὴς, ἐστερημένος·

Αἰ γὰρ δὴ ψυχῆς [8] τε καὶ αἰῶνός σε δυναίμην
Ἔυνιν ποιήσας πέμψαι δόμον Ἄϊδος εἴσω.

σημαίνει [illegible] τὴν γαμετὴν γυναῖκα, παρὰ τὴν εὐνήν.

Ἐυπηγέες. Ἐυ τεθραμμένοι.

Ἐυπρηστον. [9] Ἐυφύσητον· ἀπὸ τοῦ πρῆσαι.

Ἐυράξ. Πλαγίως.

---

[1] Ἀνδρίαν. Lege ἀνδρείαν.

[2] Ἐυλάς. Il. Τ. 26.

[3] Ἔυληρα. Il. Ψ. 481.

[4] Ἐυνάς. Legitur Il. Α. 436. ἐκ δ' εὐνὰς ἔβαλον.

[5] Πλησίον ἀλλήλων εὐνάουσι. Quid ſibi vellet hæc citatio diu quæſivi. Sed extat Od. Ξ. 14:

Πλησίον ἀλλήλων εὐνὰς συσίν. —.

Prope inter ſe, cubilia ſuibus. Ergo le-

tum πρὸς τὴν ἠνορέην, *id eſt*, fortitudinem.

ΕΥΛΑΙ. Vermes:

Vermes ingenerent. ———

ΕΥΛΗΡΑ. Habenas. Dicitur quaſi ἄλυρα; quod lora circumvoluta implicentur manibus aurigarum.

ΕΥΝΑΙ: Sumitur quidem pro anchoris:

——— *Et anchoras ejecerunt.* ———

Et pro cubilibus:

Prope inter ſe cubilia ſuibus. ———

Vocat & per ſuperextenſionem anchoras εὐνάς: per metaphoram autem ductam a lecto anchoræ dicuntur εὐναί. Scapha enim ſtans firma & inconcuſſa anchoris veluti lecto innixa requieſcit.

ΕΥΝΗΣΑΙΜΙ. Sopirem:

Neque ſopirem, niſi ipſe juſſiſſet.

ΕΥΝΙΣ. Orbatus, privatus:

Utinam enim animâ & vitâ te poſſem
Orbum faciens mittere Plutonis intra domum!

Significat & mulierem connubio junctam, ex εὐνῆς, *id eſt*, lecto.

ΕΥΠΗΓΕΕΣ. Bene compacto corpore pingues.

ΕΥΠΡΗΣΤΟΝ. Bene ſufflatum; ex verbo πρήθω, quod eſt inflare.

ΕΥΡΑΞ. Ex obliquo.

---

gendum eſt εὐνὰς οὐσιν. Pollux, c. 5. 66.
habet εὐναὶ λαγῶν.

6 Οὐδὲ κατευνήσαιμ'. Il. Ξ. 248.

7 Κρονίων. Lege κελεύοι.

8 Αἰ γὰρ δὴ ψυχῆς. Od. I. 523.

9 Εὔπρηστον. Il. Σ. 471, de follibus dicit:

Παντοίην εὔπρηστον ἀϋτμὴν ἐξανιεῖσαι.

ʽΕʏʀᴏꜱ. ʽΟν ἡμεῖς Ἀπηλιώτην καλοῦμεν. σημαίνει δὲ καὶ ἡ φωνὴ καὶ οὐδετέρως τὸ πλάτος, εὖρος.

ʽΕʏʀʏɴᴀɴ. ʽΕυχωρον ἐποίησαν·

——— Καλὸν [1] δ' εὔρυναν ἀγῶνα.

Ἐʏʀʏᴏ́ᴘᴀ. Ἐπίθετον Διός. ἤτοι τὸν μεγάλως ἐφορῶντα, ἢ τὸν μεγάλους ἤχους καὶ ψόφους [2] ἀποτελοῦντα, ἢ τὸν μεγαλόφθαλμον· ἐπίθετον Διός.

Ἐʏʀʏᴘᴏ́ʀᴏɪᴏ. [3] Τοὺς εὐρεῖς πόρους ἐχούσης.

Ἐʏʀᴡ́ᴇɴᴛᴀ. [4] Εὐρέα, ἀναπεπταμένα.

Ἐʏ́ꜱ. Ἀγαθός·

——— Ἐῢς [5] πάϊς Ἀγχίσαο.

Ἐʏ́ꜱᴋᴀʀᴛʜᴍᴏɪ. Εὐκίνητοι. ἐπὶ δὲ τοῦ·

——— Πολυσκάρθμοιο [6] Μυῤῥίνης,

τοῦ πολὺ σκαρίσου, [7] ἢ πολυκινήτου. καταστρέφει δὲ εἰς τὸ πολεμικῆς.

Ἐʏ́ꜱᴋᴏᴘᴏɴ. [8] Ἐπίθετον Ἑρμοῦ. τὸν εὖ πάντα σκοπούμενον.

Ἐʏ́ꜱᴛᴀᴛʜᴇ́ᴏꜱ. [9] Εὖ καὶ καλῶς βεβηκότος.

ʽΕʏᴛᴇ. ʽΗνίκα.

ʽΕʏꜰʀᴏɴ. ʽΕὖ τὰς φρένας διακείμενος ἐν χαρᾷ.

Ἐʏᴄʜᴏʟᴇ́ɴ. Ἐπὶ μὲν τοῦ καθ' ἡμᾶς εὐχῆς·

Εἰτ' ἄρ' ὅγ' εὐχωλῆς. [9] ———

---

[1] Καλόν. Od. Θ. 260.

[2] Ψόφους. Sic Sangermanenſe Lexicon Mſ. habet : μεγαλόφθαλμον, ἢ μεγαλόφωνον. Heſ. habet quoque : μεγάλους ἤχους ἀποτελοῦντα διὰ τῶν βροντῶν.

[3] Εὐρυπόροιο. Epithetum maris, Il. O. 381. Od. Δ. 432. & M. 2.

[4] Εὐρώεντα. Reſpicit Il. Υ. 65. ubi de infernis ſedibus dicitur : σμερδαλέ' εὐρώεντα. Aut Od. Ω. 10

Ἑρμείας ἀκάκητα κατ' εὐρώεντα κέλευθα.

quod alii vertunt *tenebroſas*, *obſcuras*, ut & Lexicon Manuſcriptum a me conſultum ubi habetur : σκοτεινὰ, ζοφώδη.

ʹΕυρος. Ventus quem nos dicimus Subſolanum. Hæc vox quoque in neutro genere notat latitudinem.

ʹΕυρυναν. Latum fecerunt:

——— *Pulchrumque latum fecerunt circum.*

ʹΕυρύοπα. Valde inſpicientem; aut magnos ſonitus & ſtrepitus edentem: aut magnis præditum oculis. Jovis epithetum.

ʹΕυρυπόροιο. Latas vias habentis.

ʹΕυρώεντα. Lata, extenſa.

ʹΕΰς. Bonus:

——— *Bonus filius Anchiſæ.*

ʹΕΰσκαρθμοι. Agiles; & in hoc verſu:

——— Πολυσκάρθμοιο *Myrinnes;*

Valde agilem aut mobilem ſignificat; ſicque bellatricem deſignat.

ʹΕΰσκοπον. Epithetum Mercurii. Qui recte omnia inſpicit.

ʹΕϋσταθέος. Stabilis & firmiter innixi.

ʹΕυτε. Quando.

ʹΕυφρων. Qui mentem in gaudio bene conſtitutam habet.

ʹΕυχωλήν. In ſenſu apud nos recepto ſumitur pro precibus:

Sive ille ob preces. ———

At Apollonius *latas*, *late extenſas* interpretatur, ex εὖρος, *latitudo*. Hes. vero ſic utrumque ſenſum conjungit: πλατέα, σκολιά.

5 ʹΕὺς πάϊς. Il. Β. 819.

6 Πολυσκάρθμοιο Μυῤῥίνης. Il. Β. 814. Lege Μυρίννης, ſeu Μυρίνης.

7 ʹΕυκαρίστω. Lege ἐϋσκαρίστω. Habet enim Etymologus: ʹΕυσκαρθμοι. ʹΕυσκάριστοι. Et Hes. ἐϋκαιροι, pro quo legendum ἐϋσκαιροι, ταχεῖς.

8 ʹΕύσκοπον. Hic ſignificat cautum; unde in Theocriti Idyllio 25, 143. de tauro dicitur in Herculem attente inſpicientem irruente:

Αὐτῷ ἔπειτ' ἐπόρουσεν ἐΰσκόπῳ Ἡρακλῆϊ.

9 ʹΕἶτ' ἄρ' ὅγ' εὐχωλῆς. Il. Α. 65.

ἐπὶ δὲ τῆς καυχήσεως·

Ἔνθα δ᾽ ἅμ᾽ [1] οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν.

ἘΦΈΠΕΣΚΟΝ. [2] Ἐπεπορεύοντο.

ἘΦΈΠΟΝΤΕΣ. Ἐπερχόμενοι.

ἘΦΕΤΜΉ. Ἐντολή.

ἘΦΕΨΙΌΩΝΤΑΙ. Ἐμπαίζουσιν.

ἘΦΗΜΟΣΎΝΗΣ. Ἐντολῆς.

ἘΦΉΣΩ. [3] Ἐπισκέψω, ἐντελοῦμαι.

ἘΦΙΈΜΕΝΟΣ. Ἐντελλόμενος.

ἜΦΛΥΕ. [4] Τῶν πεποιημένων ἡ λέξις·

—— Ἀνὰ δ᾽ ἔφλυε [5] καλὰ ῥέεθρα.

ἘΦΌΛΚΕΟΝ. [6] Ἐφόλκιον, ἀπὸ τοῦ διὰ τοῦ ἐφέλκεσθαι τὴν ναῦν. σημαίνει δὲ καράβια [7] μικρά. οἱ δὲ, τὸ πηδάλιον. καὶ μᾶλλον τοῦτ᾽ ἂν εἴη. οὐ γὰρ ἐφολκίῳ ἐχρῶντο τότε.

ἘΦΡΆΣΘΗΝ. [8] Ἐνόησας.

ἜΦΥΔΡΟΣ. [9] Ὕδωρ ἐπάγων.

ἘΦΎΡΟΥΣ.

Τὼ μὲν ἄρ᾽ ἐκ Θρή[illegible] [10] Ἐφύρους μέτα θωρήσσεσθον. [11]

---

1 Ἔνθα δ᾽ ἅμ᾽. Il. Θ. 64.

2 Ἐφέπεσκον. Od. M. 330:
Καὶ δὴ ἄγρην ἐφέπεσκον ἀλητεύοντες ἀνάγκῃ.

3 Ἐφήσω. Uſitatius eſt in hoc ſenſu ἐφίεμαι, quod Heſ. interpretatur ἐντελοῦμαι, ἐπισκέψω. Nuſquam vero in hâc ſignificatione uſurpatur τὸ ἐφήσω, quod hìc in ἐφήσομαι mutandum cenſeo. Il. Ψ. 82. ἐφήσομαι explicatur ἐπισκέψομαι, ἐντελοῦμαι.

4 Ἔφλυε. Omiſſa eſt gloſſa. Apud Heſ. ἀνέβλυζεν, ἀνέζη, ἀνέβαλλεν.

5 Ἀνὰ δ᾽ ἔφλυε. Il. Φ. 361.

6 Ἐφόλκεον. Sic quoque in Heſ. Lege ἐφόλκαιον, ut habetur Od. Ξ. 350:
Ξεστὸν ἐφόλκαιον καταβὰς ἐπέλασσα θαλάσσῃ.
At ſecundum Heſ. ἐφόλκιον διὰ τοῦ Ι, τὸ πηδάλιον. In Lex. Manuſcripto a me conſulto legitur: Ἐφόλκια. Καράβια μικρὰ, διὰ τὸ ἕλκεσθαι ἐπὶ τῶν καπηλάτων ἢ τῶν μεγάλων πλοίων. Melius Heſ. ὑπὸ τῶν καπηλάτων, &c. Deinde addit quod notatu

Et

Et pro gloriatione :

Tunc vero ſimul ejulatuſque & gloriatio erat virorum.

'Εφέπεσκον. Petebant, perſequebantur.

'Εφέποντες. Petentes, proficiſcentes ad aliquem locum.

'Εφετμή. Mandatum.

'Εφεψιόωνται. Irrident.

'Εφημοσύνης. Mandati.

'Εφήσω. Mandabo, præcipiam.

'Εφιέμενος. Præcipiens.

'Εφατε. Vox conficta :

——— *Ebulliebantque limpida fluenta.*

'Εφόλκεον. Sic dicitur quod eo navis attrahatur. Significat autem parvos carabos. Alii autem gubernaculum intelligunt ; quod quidem verius videtur. Non enim tunc temporis utebantur navi parvâ quæ a majori traheretur.

'Εφράσθην. Intellexiſti.

'Εφυδρος. Aquam afferens.

'Εφύρους.

Qui quidem e Thraciâ in Ephyros armantur.

---

digniſſimum, nuſquam in Heſychio comparet : καλῦνται ἢ καὶ οἱ τὴν πόλιν τὰ ἄνω ἐπισκοπούμενοι.

7 Καράβια. Hæc vox Latina quoque eſt; & ſic habent Iſidori gloſſæ ab Alberti laudatæ : *Carabus. Parva ſcapha ex vimine & corio.* Pro ἀπὸ τῆ διὰ τῆ ἐφέλκεσθαι ναῦν, mallem ἀπὸ τῆ διὰ τέτε ἐφέλκεσθαι ναῦν.

8 'Εφράσθην. Lege ἐφράσθης, ut melius reſpondeat ſequenti gloſſæ, ἐνόησας. Extat Od. Τ. 485. & Ψ. 260.

9 Ἔφυδρος. Od. Ξ. 458 :

— Αὐτὰρ ἄη Ζέφυρος μέγας αἰὲν ἔφυδρος.

10 Τὼ μὲν ἄρ' ἐκ Θρήκης. Il. N. 301.

11 Θωρήσσεσθον. Homerus addit:
'Ηὲ μετὰ Φλέγυας μεγαλήτορας. —
de Phlegyis loquitur Virgilius in ſexto Æneidos libro :

— *Sedet, æternumque ſedebit*

Ἔφυροι δὲ, Φλεγῦαι [1] βάρβαρα ἔθνη. οἱ δὲ Ἐφύρους εἶναι τοὺς νῦν Ἀκαρνάνας λεγομένους· Φλεγυίας δὲ, τοὺς πάλαι Γυρτώνην [2] οἰκοῦντας.

Ἐχάνδανεν. Ἐχώρει.

Ἔχεαι. Συνέχῃ.

Ἐχεπευκές. Ἔχον πικρίαν. πευκεδανὸν [3] γὰρ, τὸ ἔχον πικρίαν· ἀπὸ τῆς πεύκης.

Ἔχῃ. [4] Κατέχει.

Ἔχματα. Κωλύματα, ἀπὸ τοῦ ἐπέχειν·

Χερσὶ [5] μάκελλαν ἔχων, ἀμάρης δ' ἐξ ἔχματα βάλλων.

Ἐχόμην. Ἐξειχόμην, κατεῖχον·

Τῷ προσφὺς [6] ἐχόμην. ———

Ἐχώμεθα. Ἀπεχώμεθα.

Ἕψεαι. Ἀκολουθήσεις.

Ἑψιαάσθων. Παιζέτωσαν.

Ἔω. Ὦ, ὑπάρχω.

Ἐῶμεν. Κορεσθῶμεν·

——— Ἐπεί [7] κ' ἐῶμεν πολέμοιο.

Infelix Theſeus, Phlegyaſque miſerrimus omnes
Admonet. —

Hi erant quidam Bœotiæ ſceleſti qnorum meminit Pauſanias, qui cum Delphis templum Apollinis ſpoliare voluiſſent, fulmine, peſte, & terræ motibus extincti ſunt. Per Ephyræos vero Schol. intelligit τοὺς Ἐφυραίους πάλαι καλουμένους, νῦν δὲ, Κραννωνίους. ἰστέον δὲ, inquit, ὅτι Ἔφυραι εἰσὶ τέσσαρες· μία μὲν, ἡ κατὰ Θεσσαλίαν. δευτέρα δὲ, ἡ κατὰ τὴν Ἤπειρον· τρίτη δὲ, ἡ τῆς Ἤλιδος· καὶ τετάρτη, ἡ νῦν καλουμένη, Κόρινθος. νῦν οὖν λέγει τοὺς καλουμένους Κραννωνίους ἐν Θεσσαλίᾳ.

[1] Φλεγῦαι. Lego καὶ φλέγυαι. Omiſſum fuerat τὸ καί. Infra pro Ἀκαρνάνας, lege Ἀχαρνάνας.

[2] Γυρτώνην. Male edidit Γορτύνην Alberti qui hæc verba laudat. Legendum

Ephyri autem & Phlegyæ ſunt barbaræ gentes. Quidam exiſtimant Ephyros eos eſſe qui nunc Acharnanes dicuntur; Phlegyas vero, antiquos Gyrtones incolas.

Ἐχάνδανεν. Capiebat.

Ἔχεαι. Teneris.

Ἐχεπευκές. Habens amaritudinem. πευκεδανὸν enim amarum eſt; dicitur ἀπὸ τῆς πεύκης, *id eſt*, ex piceâ quæ eſt amara.

Ἔχῃ. Detinet.

Ἔχματα. Obices; dicuntur ex verbo ἐπέχειν, quod eſt retinere:

Manibus ligonem habens, & alvei obices removens.

Ἐχόμην. Tenebar, retinebam:

Huic implicitus tenebar. ———

Ἐχώμεθα. Abſtineamus.

Ἕψεαι. Sequeris.

Ἐψιάασθων. Ludant.

Ἔω. Sim, exiſtam.

Ἕωμεν. Satiemur:

——— *Ubi ſatiati fuerimus bello.*

---

eſt Γυρτώνην, ut habet Apollonius. Nam Phlegyæ incolebant urbem Gyrtonen ad Olympi pedem & Penei oſtium poſitam, & perpetuo cum vicinis ſuis Ephyræis b.llo collidebantur; Gortyne autem erat urbs Cretæ. Unde Ovidius dixit:

Nec Gortyniaco calamus levis exit ab arcu,

Quod Cretes arcu præſtarent.

3 Πευκεδανόν. Lege πευκέδανον. Eſt πευκέδανον herba quædam nomen ſortita ab amaritudine, de quâ vide Theoph. Hiſt. Plant. l. 9. c. 15. & Dioſc. l. 3. c. 92.

4 Ἔχῃ. Lege ἴσχει, ut reſpondeat τῷ κατίχει; quemadmodum & habet Heſ.

5 Χερσί. Il. Φ. 259.

6 Τῷ προσφύς. Od. M. 433.

7 Ἐπεί κ' ἴωμεν. Il. T. 402. Alii legunt cum ſpiritu aſpero:

— Ἑπεί χ' ἵωμεν πολέμοιο,

ſeu etiam ἴωμεν.

Z.

Ζαής. Μεγαλόπνους·

'Ως δ' ἄνεμος [1] ζαὴς νέφεα σκιόεντα. ——

Ζάκοτος. [2] Μεγαλόκοτος, μεγάλως ἐγκοτητικός·

Ζατρεφέων. Μεγάλως τεθραμμένων.

Ζαφλεγέες. [3] Μεγάλως φλέγοντες.

Ζαφελῶς. [4] Ὁ μὲν Ἀπίων, μεγαλοκότως. ἐπιφέρει δὲ, τὸ μενεαίνειν· [5] δι' οὗ σημαίνει τὸ ἐγκοτεῖν. ὅθεν κρεῖττον νοεῖν ἐκ τοῦ ΖΑ· καὶ τὸ ὀφέλλειν [6] ἐπὶ τοῦ αὔξειν τίθεται. μεγάλως οὖν καὶ ηὐξημένως μενεαίνει καὶ χολοῦται.

Ζαχρειῶν. Τῶν μεγάλως ἐπιζαρούντων, [7] οἷον ἐμπνεόντων ἀθρόως.

Ζείδωρος. Ἡ τὸ ζῆν δωρουμένη γῆ. ταύτης γὰρ ἐπίθετον·

—— Κύσε [8] δὲ ζείδωρον ἄρουραν.

Ζοφερή. Σκοτεινή.

Ζόφον ἠερόεντα. Τὸν ἐν Ἅδου τόπον, οἷον ὁμιχλώδη. λέγει [9] δὲ ζόφον, καὶ τὴν δύσιν·

Εἴτ' ἐπ' ἀριστερὰ [10] τοίγε ποτὶ ζόφον ἠερόεντα.

---

[1] Ὡς δ' ἄνεμος ζαής. Il. M. 157. Sic verſus integer legitur in Homero:

Ὡς τ' ἄνεμος ζαὴς, νέφεα σκιόεντα δονήσας.

Derivatur ζαὴς ex voce Cypriacâ ab Heſ. ſervatâ, Ζάει. βινεῖ καὶ πνεῖ. Κύπριοι. Ex ζα particulâ intenſivâ & ἄω ſpiro.

[2] Ζάκοτος. Pindarus dixit Nemeor. ſextâ, ἀντιστρ. Γ. Φαεννᾶς υἱὸν εὖτ' ἐνάριξεν ἀκμᾶς ἔγχεος ζακότοιο: quemadmodum Horatius dixit *iracunda fulmina*.

[3] Ζαφλεγέες. Il. Φ. 465. De hominibus loquitur:

Ζαφλεγέες τελέθουσιν ἀρούρης καρπὸν ἔδοντες.

[4] Ζαφελῶς. Quidam per tranſpoſitionem deducunt ex זלעפות æſtus vehemens, ſive iræ, ſive famis, ſive venti.

[5] Ἐπιφέρει δὲ τὸ μενεαίνειν. Il. I. 512:

—— Αἰὲν ἐπιζαφελῶς χαλεπαίνει.

Z

ΖΑΗΣ. Vehementer ſpirans:

Ut ventus vehementer ſpirans nubes atras. ——

ΖΆΚΟΤΟΣ. Valde iratus, vehementer iracundus.

ΖΑΤΡΕΦΈΩΝ. Valde nutritorum.

ΖΑΦΛΕΓΈΕΣ. Valde fulgentes.

ΖΑΦΕΛΩ͂Σ. Apion intelligit *cum magnâ ira*. Subſequitur autem in Homero verbum μηνίουσιν, quod ſignificat *iraſci*. Melius ergo derivaretur ex ζα particulâ intenſivâ, & ὀφέλλειν quod ponitur pro *augere*. Explicandum eſt igitur: magnâ & vehementer auctâ irâ iraſcitur.

ΖΑΧΡΕΙΩ͂Ν. Valde irruentium & incumbentium, quaſi uno impetu ſpirantium.

ΖΕΊΔΩΡΟΣ. Vitam dans terra; hujus enim eſt epithetum:

—— *Et oſculatus eſt almam tellurem.*

ΖΟΦΕΡΗ͂. Caliginoſa.

ΖΌΦΟΝ ἨΕΡΌΕΝΤΑ. In Erebo locum quemdam quaſi caliginoſum; vocat autem & occidentem ζόφον:

Sive ad ſiniſtram, verſus occaſum obſcurum.

Vel potius reſpexit Il. Z. 330:

— Ὁ δ' ἐπιζαφελῶς μενέαινεν.

6 Τὸ ὀφέλλειν. Forte legendum τὸ ὀφέλλειν ὅπερ.

7 Ἐπιζαφρύνων. Ex dialecto dicitur pro ἐπιζαφρύνων. Maluit Grammaticus adhibere verbum gloſſematicum, quoniam ei propius ad ζαχρειῶν accedere videbatur. Sed fortaſſe vulgaris forma ἐπισαφρύνων reponenda. De verbo ἐπιζαφρύνων vide Clar. Valckenær. ad Euripid. Phœniſſas, verſu 45.

8 Κύσε. Od. E. 463.

9 Λέγει. Male edidit Montfauconius λέγεται, ſequente accuſativo. Quidam ζόφος deducere voluerunt ex Hebraico צפון *ſeptentrio*.

10 Εἴτ' ἐπ' ἀριστερά. Il. M. 240.

Ζυγόδεσμον. [1] Ὁ ἱμὰς τοῦ ζυγοῦ.
Ζωάγρια. Τὰ τῆς ζωῆς ἀγρεύματα.
Ζώγρει. Ζῶντα λάμβανε. καὶ πληθυντικῶς·

Ζωγρεῖτε. [2] ———

καὶ ὁριστικῶς·

Ζώγρει [3] ἐπιπνείουσα. ———

Ζωή. Ἡ τὸ [4] πρὸς τὸ ζῆν χορηγία.
Ζώνη. [5] Ὁ περὶ τὴν γαστέρα τόπος, ὃν οἷόν τε ζώννυσθαι. λέγεται δὲ ζώνη καὶ ᾗ ζωννύμεθα·

Ζώσατο [6] δὲ ζώνην. ———

καί·

——— Ζώνην, [7] θώρηκος ἔνερθε.

Ζώννυσθαι. Ἀπὸ μέρους καθοπλίζεσθαι.
Ζωρότερον. Ἀκρατότερον. [8]
Ζωστήρ. [9] Ὁ ἐπάνω τοῦ θώρακος ᾧ χρῶνται·

Λῦσε [10] δέ οἱ ζωστῆρα παναίολον, ἠδ' ὑπένερθε
Ζῶμά τε καὶ μίτρην. ———

ζῶμα δὲ καὶ αὐτὸς ὁ θώραξ, κατὰ Ἀρίσταρχον. ἀντι-

---

1 Ζυγόδεσμον. Apud Homerum reperitur Il. Ω. 270. Dicitur quoque ὁ ζυγόδεσμος. Ideo in verſu Homeri alii legunt ἐννεάπηχυν: alii ἐννεάπηχυ. Vocatur quoque ζυγοδέτης.

2 Ζωγρεῖτε. Il. K. 378.

3 Ζώγρει. Il. E. 698.

4 Τό. Lege τοῦ vel τῶν. Sangermanenſe Lexicon Manuſcriptum explicat τὴν κτῆσιν, τὴν οὐσίαν.

5 Ζώνη. Mœris: Ζώνιον. τὸ γυναικεῖον, Ἀττικῶς. ζώνη, ἡ τοῦ ἀνδρός. Vide Ammonium & Thomam M.

6 Ζώσατο. Il. Ξ. 181.

7 Ζώνην. Il. Λ. 234.

8 Ἀκρατότερον. Alii, teſte Heſychio,

ΖΥΓΌΔΕΣΜΟΝ. Lorum quo temo illigatur jugo.

ΖΩΆΓΡΙΑ. Vitæ pretium quo redimatur.

ΖΏΓΡΕΙ. Vivum cape ; & in plurali numero :

Vivum me capite. ———

E. in indicativo :

Recreabat vitalem auram afflans. ———

ΖΩΉ. Erogatio ſumptuum ad vitam ſuſtentandam neceſſariorum.

ΖΏΝΗ. Locus circa ventrem qui poteſt cingi. Sic quoque dicitur & cingulum quo cingimur :

Et ſe ſuo cinxit cingulo. ———

Et :

——— *Ad cingulum, thoracem ſubter.*

ΖΏΝΝΥΣΘΑΙ. Armari. Hìc pars pro toto ſumitur.

ΖΩΡΌΤΕΡΟΝ. Purius.

ΖΩΣΤΉΡ. Quod eſt ſupra loricam quâ utuntur :

Solvit autem ipſi balteum varium, & ſubter
Loricamque & laminam. ———

ζῶμα autem eſt ipſamet lorica, ſecundum Ariſtarchum.

---

explicant τάχιον. Sic Ariſtot. de Poetic. c. 25. Nam cum Ulyſſes & Phœnix ab Agamemnone ad Achillem legati mitterentur, is Patroclo imperans ut convivium curaret, inſuper addit Il. I. 203 :

Ζωρότερον δὲ κέραιρε. —

quod non meracius ſignificat : abſurdum enim videtur viris gravibus de rebus maximis acturis, eo tempore vinum obtrudi quo eos maxime ſobrios & ſui compotes eſſe oporteret ; ſic illis turpiſſimum ebrioſitatis exprobraretur vitium. Sed ζωρότερον notat velocius, ſeu feſtinantius ; quo quidem promptiſſimum in amicos Achillis ſtudium aperte demonſtratur. Videſis Etym. & Plutarchi Sympoſ. Quæſt. l. 5. c. 4.

9 Ζωστήρ. Vide Thomam Magiſtrum ad ζῶμα.

10 Αὖτι δὲ. Il. Δ. 215.

γράφων [1] γοῦν φησί·

Διὰ μὲν ἄρ [2] ζωστῆρος ἐλήλατο δαιδαλέοιο,
Καὶ διὰ θώρηκος πολυδαιδάλου. ——

λέγεται δὲ ζῶμα, καὶ τὸ περίζωμα·

Ζῶμα [3] δέ οἱ πρῶτον παρακάββαλεν. ——

ΖΩΣΤΡΑ. Ἀπίων, τὰ ἐνδύματα [4] τῶν ἀνδρῶν·

Ζῶστρά [5] τε καὶ πέπλους καὶ ῥήγεα σιγαλόεντα.

ὁ δὲ Ζηνόδωρος βέλτιον τὰ ζώματα, τὰς ζώνας.

---

[1] Ἀντιγράφων. Male Etymologus Magnus qui cum Apollonio hic ad verbum fere conſentit, habet ἀντίγραφον pro ἀντιγράφων.

γραφων

Sic enim interpretatur:

Perque balteum adacta eſt affabre factum;
Et in thorace valde pulchro inhæſit.

Vocatur ζῶμα & περίζωμα:

Subligaculum ei primum circumpoſuit. ———

ΖΩΣΤΡΑ. Apion interpretatur veſtes hominum:

Veſteſque & peplos & pallia admirabilia.

Zenodorus vero melius explicat cingula, zonas.

---

2 Διὰ μὲρ' ἄρ. Il. Δ. 135.

3 Ζῶμα δέ. Il. Ψ. 683.

4 Ἐνδύματα. Lexicon Manuſcriptum Sangermanenſe habet: ἐνδύματά τινα ἀνδρῶν. χιτῶνας βαθεῖς ὡς ζώννυται.

5 Ζώστρά τε. Od. Ζ. 38.

Η

Ἦ. Ψιλούμενον καὶ περισπώμενον δηλοῖ σύνδεσμον παραπληρωματικὸν ἴσον τῷ δή·

——— Ἐπεὶ ἦ [1] πολὺ φέρτερόν ἐστι.

καί·

Ἦ δὴ λοίγια [2] ἔργα. ———.

δηλοῖ καὶ ἐπιρρηματικὸν σύνδεσμον·

———Ἦ οὐχ' Ἑλένης [3] ἕνεκ' ἠϋκόμοιο;

Ἦ μοῦνοι φιλέουσ' ἀλόχους; ———

δηλοῖ δὲ καὶ ῥῆμα, τὸ ἔφη·

Ἦ, καὶ κυανέῃσιν [4] ἐπ' ὀφρύσι νεῦσε Κρονίων.

ψιλούμενον δὲ καὶ βαρυνόμενον δηλοῖ σύνδεσμον διαζευκτικόν·

Ἢ εὖ, ἠὲ [5] κακῶς. ———

ἔστι δὲ ὅτε καὶ ἀντὶ τοῦ Ε [6] τοῦ συναπτικοῦ τίθεται·

Οὐδ' ἀφαμαρτοεπὴς, [7] εἰ καὶ γέρων ὕστερος ἦεν.

ποτὲ δὲ παρέλκει·

Ἀλλὰ τίη με [8] ταῦτα διεξερέεσθαι [9] ἕκαστα;

---

1 Ἐπεὶ ἦ. Il. A. 169. Alii conjunctim legunt, ἐπειή.

2 Ἦ δὴ λοίγια. Il. A. 518.

3 Ἦ οὐχ' Ἑλένης. Il. I. 339.

4 Ἦ, καὶ κυανέῃσιν. Il. A. 528.

5 Ἢ εὖ, ἠέ. Il. B. 253.

6 Τοῦ E. Quid ſibi vult illud E copulativum cujus nulla in verſu mentio? Credo legendum eſſe εἰ, ita ut ἢ ſumeretur pro εἰ; ut ſtatuit Heſ. his verbis eodem ordine diſpoſitis: Ἢ ψιλούμενον καὶ βαρυνόμενον, δηλοῖ σύνδεσμον διαζευκτικὸν, ubi, quemadmodum Apollonius, alludit ad verſum, ἢ εὖ, ἠὲ κακῶς. Deinde addit: καὶ συναπτικὸν τῷ εἰ, ſupple ἴσον: ut Apoll. dixerat: ἔστι δὲ ὅτε καὶ ἀντὶ τοῦ E συναπτικοῦ

H

